

# Β' Χαιρετισμοί

Παρασκευή, 14 Μαρτίου 2025

Περισσότερες πληροφορίες πατήστε εδώ...

## Βιογραφία

14 Μαρτίου ...

Β' Χαιρετισμοί …

Ο Ακάθιστος Ύμνος επικράτησε να λέγεται ένας ύμνος Κοντάκιο της Ορθόδοξης Εκκλησίας , προς Τιμήν Της Υπεραγίας Θεοτόκου ,

από την όρθια στάση , που τηρούσαν οι Πιστοί κατά τη διάρκεια της ψαλμωδίας Του …

Οι Πιστοί έψαλλαν τον Ακάθιστο ύμνο όρθιοι , υπό τις συνθήκες που θεωρείται ότι εψάλη για πρώτη φορά , ενώ το Εκκλησίασμα παρακολουθούσε όρθιο ,

κατά την Ακολουθία της Γιορτής Του Ευαγγελισμού , με την οποία συνδέθηκε ο Ύμνος …

Ψάλλεται ενταγμένος στο Λειτουργικό πλαίσιο της Ακολουθίας του Μικρού Αποδείπνου , σε όλους τους Ιερούς Ναούς ,

τις πέντε πρώτες Παρασκευές της Μεγάλης Τεσσαρακοστής , τις πρώτες τέσσερεις τμηματικά και την πέμπτη ολόκληρος …

Είναι ένας Ύμνος που αποτελείται από προοίμιο και είκοσι τέσσερεις οίκους , στροφές σε ελληνική αλφαβητική ακροστιχίδα , από το Α ως το Ω , κάθε οίκος ξεκινά με το αντίστοιχο κατά σειρά ελληνικό γράμμα ,

είναι γραμμένος πάνω στους κανόνες της ομοτονίας , ισοσυλλαβίας και εν μέρει της ομοιοκαταληξίας …….

Β. Χαιρετισμοί …

Ακάθιστος Ύμνος – Β. Στάσις …

Ἤκουσαν οἱ ποιμένες ,

τῶν Ἀγγέλων ὑμνούντων ,

τὴν ἔνσαρκον Χριστοῦ παρουσίαν

καὶ δραμόντες ὡς πρὸς ποιμένα ,

θεωροῦσι τοῦτον ὡς ἀμνὸν ἄμωμον ,

ἐν γαστρὶ τῆς Μαρίας βοσκηθέντα ,

ἥν ὑμνοῦντες εἶπον ,

Χαῖρε , Ἀμνοῦ καὶ Ποιμένος Μῆτερ ,

Χαῖρε , αὐλὴ λογικῶν προβάτων …

Χαίρε , ἀοράτων ἐχθρῶν ἀμυντήριον ,

Χαίρε , Παραδείσου θυρῶν ἀνοικτήριον ,

Χαίρε , ὅτι τὰ οὐράνια συναγάλλεται τῇ γῇ ,

Χαίρε , ὅτι τὰ ἐπίγεια συγχορεύει οὐρανοῖς ,

Χαίρε , τῶν Ἀποστόλων τὸ ἀσίγητον στόμα ,

Χαίρε , τῶν Ἀθλοφόρων τὸ ἀνίκητον θάρσος ,

Χαίρε , στερρὸν τῆς πίστεως ἔρεισμα ,

Χαίρε , λαμπρὸν τῆς Χάριτος γνώρισμα ,

Χαίρε , δι' ἧς ἐγυμνώθη ὁ Ἅδης ,

Χαίρε , δι' ἧς ἐνεδύθημεν δόξαν ,

Χαίρε , Νύμφη ανύμφευτε …

Θεοδρόμον ἀστέρα ,

θεωρήσαντες Μάγοι ,

τῇ τούτου ἠκολούθησαν αἴγλῃ

καὶ ὡς λύχνον κρατοῦντες αὐτόν ,

δι' αὐτοῦ ἠρεύνων κραταιὸν Ἄνακτα

καὶ φθάσαντες τὸν ἄφθαστον ,

ἐχάρησαν αὐτῷ βοῶντες ,

Αλληλούια ...

Ἴδον παῖδες Χαλδαίων ,

ἐν χερσὶ τῆς Παρθένου ,

τὸν πλάσαντα χειρὶ τοὺς ἀνθρώπους

καὶ Δεσπότην νοοῦντες αὐτόν ,

εἰ καὶ δούλου μορφὴν ἔλαβεν ,

ἔσπευσαν τοῖς δώροις θεραπεῦσαι

καὶ βοῆσαι τῇ Εὐλογημένῃ ,

Χαίρε , ἀστέρος ἀδύτου Μήτηρ ,

Χαίρε , αὐγὴ μυστικῆς ἡμέρας ,

Χαίρε , τῆς ἀπάτης τὴν κάμινον σβέσασα ,

Χαίρε , τῆς Τριάδος τοὺς μύστας φωτίζουσα ...

Χαίρε , τύραννον ἀπάνθρωπον ἐκβαλοῦσα τῆς ἀρχῆς ,

Χαίρε , Κύριον φιλάνθρωπον ἐπιδείξασα Χριστόν ,

Χαίρε , ἡ τῆς βαρβάρου λυτρουμένη θρησκείας ,

Χαίρε , ἢ τοῦ βορβόρου ρυομένη τῶν ἔργων ,

Χαίρε , πυρὸς προσκύνησιν παύσασα ,

Χαίρε , φλογὸς παθῶν ἀπαλλάττουσα ,

Χαίρε , πιστῶν ὁδηγὲ σωφροσύνης ,

Χαίρε , πασῶν γενεῶν εὐφροσύνη ,

Χαίρε , Νύμφη ανύμφευτε …

Κήρυκες θεοφόροι ,

γεγονότες οἱ Μάγοι ,

ὑπέστρεψαν εἰς τὴν Βαβυλῶνα ,

ἐκτελέσαντές σου τὸν χρησμόν

καὶ κηρύξαντές σε τὸν Χριστὸν ἅπασιν ,

ἀφέντες τὸν Ἡρώδην ὡς ληρώδη ,

μὴ εἰδότα ψάλλειν ,

Ἀλληλούια …….